www.tezaurliturgic.ro

# ΔΕΚΕΜΒΡΙΟΥ ΚΘ΄
# ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΙΔ΄ ΧΙΛΙΑΔΩΝ ΝΗΠΙΩΝ ΤΩΝ ΥΠΟ ΤΟΥ ΗΡΩΔΟΥ ΑΝΑΙΡΕΘΕΝΤΩΝ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.*

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἡ ἀπειρόκακος Παίδων, ἀνευφημείσθω πληθύς, ἡ τῶν Πρωτομαρτύρων, θεοδόξαστος φάλαγξ· Χριστῷ γὰρ τῷ τεχθέντι ἐν Βηθλεέμ, ἐκ τῆς μόνης Θεόπαιδος, ὡς ἀπαρχὴ προσηνέχθησαν θαυμαστή, καὶ θυσία πανυπέρτιμος.

Τοῦ Ἰησοῦ γεννηθέντος, ὁ δολιώτατος, Ἡρώδης ἐταράχθη, καὶ τὰ ἄδολα βρέφη, παρέδωκε ὁ τάλας ξίφους ἀκμῇ· ἀλλ' αὐτὰ ὡς οὐκ ᾤετο, Θεοῦ ἀνέδειξε Μάρτυρας εὐκλεεῖς, καὶ Μαρτύρων ἀρχιμάρτυρας.

Νέον ἐτέχθη παιδίον, ὁ πρὸ αἰώνων τεχθείς, ἐξ ἀμωμήτου Κόρης, Βηθλεὲμ ἐν τῇ πόλει, καὶ τούτῳ προσηνέχθη δῶρον Βρεφῶν, ἀρτιτόκων τὸ ἄθροισμα, σφαγιασθέντων Ἡρώδου τοῦ ἀπηνοῦς, βασιλέως βαρβαρότητι.

Ταῖς τῶν αἱμάτων ἀρδείαις, ἐστηλιτεύσατε, Ἡρώδου τοῦ ληρώδους, τὴν ἐξάγιστον γνώμην, καὶ ταύτην ὑποβρύχιον ἐν αὐταῖς, ἀληθῶς ἐποιήσατε, τῆς ἀκακίας ὡς ῥόδα νεοθαλῆ, Παιδομάρτυρες μακάριοι.

Δόξα Πατρί. Ἦχος β΄.

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ὁ παράνομος βασιλεὺς ἐταράττετο, καὶ ἀγκαλοφορούμενα Βρέφη, ὡς στάχυας ἀώρους ἐθέριζεν. Ὢ τῆς Ἡρώδου πωρώσεως! δι' ἧς μισθὸν ἔνδικον, θεόθεν ὁ ἄφρων ἀπέλαβε, καταδίκην αἰώνιον. Αὐτῆς οὖν Κύριε ῥῦσαι ἡμᾶς, πρεσβείαις τῶν Μαρτύρων σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Γερμανοῦ.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον! Παρθένος τίκτει καὶ μήτρα οὐ φθείρεται· ὁ Λόγος σαρκοῦται, καὶ τοῦ Πατρὸς οὐ κεχώρισται. Ἄγγελοι μετὰ Ποιμένων δοξάζουσι, καὶ ἡμεῖς σὺν αὐτοῖς ἐκβοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Θέλων συνανελεῖν, τὸν Κτίστην ὁ Ἡρώδης, ἐν Βηθλεὲμ ἀνεῖλε, πληθὺν ἀπειροκάκων, Νηπίων ὁ ἀσύνετος.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Ἔθραυσε τῶν Βρεφῶν, ἡ φάλαγξ τοῦ Ἡρώδου, τὴν μισητὴν κακίαν, ἧς ῥῦσαι ἡμᾶς Σῶτερ, αὐτῶν ταῖς παρακλήσεσι.

www.tezaurliturgic.ro



Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Τέκνα τὰ τῆς Ῥαχήλ, σῆς ἀπροσίτου δόξης, τῇ μυστικῇ τραπέζῃ, ὡς σφάγια εὐώδη, Οἰκτίρμον ἀνηνέχθησαν.

Δόξα Πατρί. Τριαδικόν.

Λόγος ὁ τοῦ Πατρός, ἐν Πνεύματι Ἁγίῳ, ἐκ τῆς ἁγνῆς Παρθένου, ὡς νήπιον ὡράθη, δι᾽ ἄκραν ἀγαθότητα.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἄστρον ἐν Βηθλεέμ, ἐκ τῆς πανάγνου Κόρης, ἀνέτειλεν ὁ Κτίστης, ἡμέραν σωτηρίας, ἀνθρώποις χαριζόμενος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Θησαυρὸν τὸν κρυπτόμενον, ἐκζητῶν ὁ παράνομος, τοὺς ἀκάκους σήμερον Παῖδας ἔθυσε· καὶ ἡ Ῥαχὴλ ἀπαράκλητος, ὑπῆρχε τὴν ἄδικον, κατοπτεύουσα σφαγήν, καὶ τὸν ἄωρον θάνατον· οὓς ἐθρήνησε, δονουμένη τὰ σπλάγχνα· ἀλλὰ τούτους, ἐπευφραίνεται ἐν κόλποις, τοῦ Ἀβραὰμ ἄρτι βλέπουσα.

Βασιλέα τὸν ἄχρονον, ὑπὸ χρόνον γενόμενον, βασιλεὺς παράνομος ἐπεζήτησε· καὶ μὴ εὑρὼν ἀνελεῖν αὐτόν, τῶν Παίδων ἐθέρισεν, ἀπειρόκακον πληθύν, οὓς εἰργάσατο Μάρτυρας, ὡς οὐκ ᾤετο, καὶ πολίτας τῆς ἄνω βασιλείας, τὴν αὐτοῦ εἰς τοὺς αἰῶνας, παραφροσύνην ἐλέγχοντας.

Ἐκ Παρθένου τεχθέντι σοι, προαιώνιε Κύριε, καὶ δι᾽ ἀγαθότητα νηπιάσαντι, χορὸς Νηπίων προσήνεκται, Μαρτύρων ἐν αἵματι, τὴν ἀθόλωτον ψυχήν, λαμπρυνθεὶς δικαιότατα· ἃ κατῴκισας, εἰς μονὰς ἀειζώους τὴν Ἡρώδου, στηλιτεύοντα κακίαν, καὶ ὠμοτάτην παράνοιαν.

Προσόμοια ἕτερα. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τῆς Ἡρώδου πωρώσεως! κατὰ Θεοῦ ἐμμανείς, τοῦ σαρκὶ νηπιάσαντος, Βηθλεὲμ τοῖς βρέφεσι, τὸν θυμὸν ἐπαφίησι· καὶ ξίφει πάντα δημίων δίδωσι, ζωῆς στερῆσαι τὸν ζωῆς αἴτιον, τούτων οἰόμενος, τῆς σφαγῆς τῷ αἵματι ὁ λυμεών, τοῦ καρποῦ τῆς φύσεως, ὁ ἀπηνέστατος.

Μάγοι ἐκ Περσίδος φθάσαντες, εἰς τὴν Ἱερουσαλήμ, τὸν Ἡρώδην ἐτάραξαν· καὶ μανεὶς ὁ δείλαιος, τὰ Νήπια κατέσφαττεν· ὡς βότρυες δὲ Χριστῷ προσήχθησαν, εἰ καὶ μητρῴων μαζῶν ἐσπάσθησαν, οἱ Νεομάρτυρες, τὸν Ἡρώδην πλήξαντες· διὸ Χριστόν, πίστει ἱκετεύουσιν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Κλαίει ἡ Ῥαχὴλ τὰ Νήπια· ἐν τῇ Ῥαμᾷ δὲ φωνή, νῦν μεγάλη ἀκούεται· ὁ Ἡρώδης μαίνεται, καὶ ἀθέως φρυάττεται· ὁ Ἰωάννης φεύγει ἐν ὄρεσι· λίθος μητέρα σὺν τέκνῳ δέχεται· ὁ Ζαχαρίας δέ, ἐν Ναῷ φονεύεται· ὁ δὲ Χριστός, φεύγει ἀφεὶς ἔρημον, Ἑβραίων οἴκημα.

Δόξα Πατρί. Ἦχος πλ. δ΄. Ἀνδρέου Κρήτης.

Ἡρώδης ὁ παράνομος, θεωρῶν τὸν ἀστέρα, ὑπὲρ πᾶσαν κτίσιν λαμπρότερον, ἐταράττετο· καὶ γαλακτοτροφούμενα Βρέφη, ἐξ ἀγκαλῶν μητρικῶν ἀφήρπαξεν. Ἡ δὲ Ἐλισάβετ, λαβοῦσα τὸν Ἰωάννην, πέτραν παρεκάλει· Δέξαι Μητέρα μετὰ τέκνου. Ὄρος ἐδέξατο τὸν Πρόδρομον· φάτνη ἐφύλαττε τὸν θησαυρόν, ὃν ἀστὴρ ἐμήνυσε· Μάγοι προσεκύνουν. Κύριε δόξα σοι.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Παράδοξον μυστήριον, οἰκονομεῖται σήμερον! καινοτομοῦνται φύσεις, καὶ Θεὸς ἄνθρωπος γίνεται· ὅπερ ἦν μεμένηκε, καὶ ὃ οὐκ ἦν προσέλαβεν, οὐ φυρμὸν ὑπομείνας, οὐδὲ διαίρεσιν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 2 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄. Κυπριανοῦ.

Τῷ ἀχράντῳ σου τόκῳ, Χριστὲ ὁ Θεός, πρώτη θυσία γέγονε τὰ Νήπια· Ἡρώδης γὰρ χειρώσασθαι, σὲ τὸν ἀχείρωτον βουληθεὶς ἠγνόησε, Μαρτύρων προσάγων σοι χορόν. Διό σε ἱκετεύομεν τὸν ἐνανθρωπήσαντα, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄. Τοῦ αὐτοῦ.

Εἰς τὰ ὦτα Κυρίου Σαβαώθ, εἰσεληλύθει ἡ σφαγὴ ὑμῶν, Βρέφη τίμια· δι᾽ αὐτὸν γὰρ τὸ αἷμα ἐξεχέατε, καὶ ἐν κόλποις Ἀβραὰμ ἐπαναπαύεσθε· καὶ τὴν Ἡρώδου εἰς αἰῶνας, μισητὴν κακίαν καταγγέλετε, δυνάμει τοῦ τεχθέντος Χριστοῦ.

Ἦχος γ΄.

Μισητὴ τοῦ Ἡρῴδου ἡ παιδοκτονία, διὰ τὴν αὐτοῦ μιαιφονίαν· καὶ σεπτὴ ἡ τῶν Παίδων θυσία, ὡς ἡλικιῶτις Χριστοῦ, τῆς ἡμῶν σωτηρίας, τοῦ καινοῦ σφαγίου προθυομένη, καὶ προπεπονθυῖα. Μὴ κλαῖε Ῥαχὴλ τὰ τέκνα, μιμνησκομένη τῶν κόλπων Ἀβραάμ, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία.

Ἦχος δ΄.

Ἐμπαιχθεὶς ὁ Ἡρώδης ὑπὸ τῶν Μάγων, τῆς Ἰουδαίας ἐφοίνιξε τὴν γῆν, τοῖς αἵμασι τῶν ἁγίων Νηπίων· διὸ Βηθλεὲμ ἐγκαυχᾶται, καὶ ἀντὶ κλαυθμοῦ εὐφροσύνην ἀναλαβοῦσα, τῷ ἐν σπηλαίῳ τεχθέντι Σωτῆρι, μετὰ τῶν Ἀσωμάτων ἀνακραυγάζει· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκίᾳ.

Ἦχος πλ. α΄.

Ὁ παλαιὸς τῶν ἡμερῶν, δι᾽ ἡμᾶς νηπιάσας σαρκί, τὸ Νηπίων τὸ αἷμα ὡς δῶρον, πανευπρεπές προσεδέξατο· ζητῶν γὰρ αὐτὸν φονεῦσαι, Ἡρώδης ὁ ἀσεβὴς βασιλεύς, ὡς μανίᾳ θεομάχῳ ἐκτακείς, τὰ ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς όρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρῳ Βρέφη, ὡς στάχυας ἀώρους ἐθέρισεν. Αὐτῶν ταῖς ἱκεσίαις ἡμῖν, Χριστὲ Σωτὴρ τοῦ κόσμου, τὴν εἰρήνην δὸς ὡς φιλάνθρωπος.

Ἦχος πλ. β΄.

Τῶν Μάγων προσκυνούντων, καὶ τὸ τρισόκλεον δῶρον προσφερόντων, Ἡρώδης τὴν σφαγὴν ἐμελέτα, καὶ κατὰ τοῦ τεχθέντος Βασιλέως, τὸ ξίφος ὁ ἄθλιος ἠκόνιζεν· ἀλλ᾽ ὡς ἀγνοῶν, εἰς θυσίαν ζῶσαν πλήρην εὐφροσύνης, καὶ εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, τὸ αἷμα τῶν Νηπίων Θεῷ προσήγαγε. Κύριε πρεσβείαις αὐτῶν, τοὺς οἰκτιρμούς σου τῷ λαῷ σου, κατάπεμψον ὡς φιλάνθρωπος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Σήμερον Ἱερεμίου ἡ φωνή, πεπλήρωται ἡ λέγουσα· Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. Ἡρώδης γὰρ ὁ βασιλεύς, τῶν Μάγων λεγόντων, Ποῦ ἐστὶν ὁ τεχθεὶς Βασιλεὺς τῶν Ἰουδαίων, ἐταράχθη λίαν, καὶ παρ᾽ αὐτῶν τὸν χρόνον, τοῦ φαινομένου ἀστέρος ἀκριβώσας, κατὰ τῶν Νηπίων τὴν σφαγὴν ἐτεκτήνατο· τότε μετὰ δώρων προσφόρων ὡς οἱ Μάγοι, καὶ ἡ φύσις τῶν θηλαζόντων τὸν Δεσπότην, τεχθέντα ἐν σπηλαίῳ προσεκύνησεν, ὡς Σωτῆρα τοῦ κόσμου, καὶ εὐεργέτην τοῦ γένους ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Πῶς ἐξείπω τὸ μέγα μυστήριον; Ὁ ἄσαρκος σαρκοῦται· ὁ Λόγος παχύνεται· ὁ ἀόρατος ὁρᾶται· καὶ ὁ ἀναφὴς ψηλαφᾶται· καὶ ὁ ἄναρχος ἄρχεται. Ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται. Ἰησοῦς Χριστός, χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐν τῇ πόλει Βηθλεέμ, τῆς δικαιοσύνης ὁ μέγας, ἔλαμψε Ἥλιος, τότε ἐσκοτίζετο, ὁ δυσσεβὴς βασιλεύς, καὶ τὰ Βρέφη ἀπέκτεινε, φονεῦσαι σπουδάζων, τῆς ζωῆς τὸν αἴτιον, ὁ ἀσυνέστατος. Ὅθεν θεοδόξαστον δῆμον, θαυμαστῶν προσῆξε Μαρτύρων, τῷ Θεῷ τῆς δόξης ὡς οὐκ ᾤετο.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Ὅτε ὁ Ἡρώδης ὁ δεινός, ἤκουσε τῶν Μάγων λεγόντων, Χριστοῦ τὴν γέννησιν, τότε ἐπαφίησι, κατ᾽ ἀρτιτόκων Βρεφῶν, τὸν θυμὸν ὁ παράνομος, καὶ ἔπλησε πᾶσαν, Ἰουδαία αἵματος, ἀδίκῳ δόγματι· ταὐτά δε εὐπρόσδεκτον δῶρον,

www.tezaurliturgic.ro



θείῳ προσφορὰν καὶ θυσίαν, τῷ ἐνανθρωπήσαντι ἀνέφερε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Ὅτε τοῦ ἐχθροῦ ὁ μαθητής, ἔκτεινε ἀστόργως τὸ δῆμον, γαλουχουμένων Βρεφῶν, τότε αἱ οὐράνιαι, πύλαι ἠνοίγησαν, καὶ ἡ ἄνω μητρόπολις, ὡς ἡλικιῶτας, τοῦ Κυρίου Μάρτυρας, αὐτὰ ἐδέξατο, πάντοτε πρεσβεύοντα ἵνα, εὕρωμεν πταισμάτων τὴν λύσιν, οἱ Χριστοῦ τὴν Γέννησιν δοξάζοντες.

Δόξα Πατρί. Ἦχος πλ. δ΄. Ἀνδρέου Κρήτης.

Τοῦ Ἰησοῦ γεννηθέντος, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, τῶν Ἰουδαίων τὸ κράτος κατήργηται. Σκιρτάτω τὰ Νήπια, ὑπὲρ Χριστοῦ σφαττόμενα. Ἰουδαία ὀδυρέσθω· φωνὴ γὰρ ἠκούσθη ἐν Ῥαμᾷ· Ῥαχὴλ κλαίουσα, θρηνεῖ ὡς γέγραπται τὰ τέκνα αὐτῆς. Βρέφη γὰρ Ἡρώδης, ἀνελὼν ὁ παράνομος, ἀπεπλήρου τὴν Γραφήν, τὴν Ἰουδαίαν ἐμπιπλῶν ἀθώου αἵματος· καὶ ἡ γῆ μὲν ἐρυθραίνετο τοῖς τῶν Νηπίων αἵμασιν· ἡ ἐξ Ἐθνῶν δὲ Ἐκκλησία, μυστικῶς ἁγνίζεται, καὶ στολὴν ἐνδύεται. Ἦλθεν ἡ ἀλήθεια, ὁ Θεὸς ἐπέφανε, τοῖς ἐν σκιᾷ καθημένοις, ἐκ Παρθένου γεννηθείς, εἰς τὸ σῶσαι ἡμᾶς.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Κύριε, ἐν Βηθλεὲμ παραγέγονας, ἐν τῷ σπηλαίῳ παρῴκησας· ὁ οὐρανὸν τὸν θρόνον ἔχων, ἐν φάτνῃ ἀνεκλίθης· ὃν στρατιαὶ κυκλοῦσιν Ἀγγέλων, Ποιμέσι συγκατέβης, ἵνα σώσῃς ὡς εὔσπλαγχνος, τὸ γένος ἡμῶν· δόξα σοι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Μαρτύρων προσήχθητε, παρεμβολὴ θαυμαστή, Χριστῷ Παιδομάρτυρες, τῷ ἐκ Παρθένου ἡμῖν, σαρκὶ νηπιάσαντι· αἵμασι δὲ τιμίοις, ἐξυφάνατε πρῶτον, ἔνδυμα εὐφροσύνης, τῇ σεπτῇ Ἐκκλησίᾳ, ᾗ πάντοτε πρεσβείαις ὑμῶν, εἰρήνην βραβεύετε.

Τὸ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Χριστοῦ τοῦ δι᾿ ἡμᾶς, ἐκ Παρθένου τεχθέντος, ἐν πόλει Βηθλεέμ, ἀπονοίᾳ Ἡρώδου, σεπτοὶ Πρωτομάρτυρες, ἀνεδείχθητε Νήπια· ᾧ πρεσβεύετε, ἐν παῤῥησίᾳ ἀπαύστως, ἵνα λάβωμεν, παραπτωμάτων τὴν λύσιν, καὶ ἔλεος ἄνωθεν.

Δόξα Πατρί. Ὅμοιον.

Χριστῷ τῷ ἐξ ἁγνῆς, σαρκωθέντι Παρθένου, προσήχθησαν σεπτῶς, ὡς ἀρνία προβάτων, σφαγέντα τὰ Νήπια, οἱ κλυτοὶ ἀρχιμάρτυρες· οὓς αἰνέσωμεν, ἐν λιγυροῖς ἐγκωμίοις, ὦ φιλέορτοι, πανευλαβῶς προσκυνοῦντες, Κυρίου τὴν Γέννησιν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐν φάτνῃ δι᾿ ἡμᾶς, τῶν ἀλόγων ἐτέθης, μακρόθυμε Σωτήρ, νηπιάσας βουλήσει· Ποιμένες δέ σε ὕμνησαν, μετ᾿ Ἀγγέλων κραυγάζοντες· Δόξα αἴνεσις, τῷ ἐπὶ γῆς γεννηθέντι, καὶ ὑψώσαντι, τῶν γηγενῶν τὴν οὐσίαν, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἀστέρος αἰσθητοῦ, ὁδηγοῦντος τοὺς Μάγους, ἀστέρες νοητοί, οἱ ἀρτίτοκοι Παῖδες, λαμπρῶς ἐξανέτειλαν, γηγενῶν τῷ πληρώματι· οὓς ἠθέλησεν, ὁ βασιλεὺς ἀποκρύψαι, καὶ ἐλάμπρυνε, διὰ σφαγῆς ἐπὶ πλεῖον· αὐτοὺς οὖν τιμήσωμεν.

Δόξα Πατρί. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Νῦν πεπλήρωται σαφῶς, Ἱερεμίου ἡ φωνή· ἐν Ῥαμᾷ γὰρ ὀδυρμός, ἠκούσθη μέγας καὶ κλαυθμός, καὶ ἡ Ῥαχὴλ ἀπαράκλητος τῶν Νηπίων, τέκνων θρηνῳδεῖ, τὴν τελείωσιν, ἃ ξίφους ἀκμή, ἐφονεύσατο· ἀλλ᾿ οὐρανὸς ἀγάλλεται καὶ χαίρει, ὑποδεξάμενος Μάρτυρας. Αὐτῶν πρεσβείαις, Σωτὴρ τοῦ κόσμου, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ ἀχώρητος παντί, πῶς ἐχωρήθη ἐν γαστρί; Ὁ ἐν κόλποις τοῦ Πατρός, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; Πάντως ὡς οἶδεν, ὡς ἠθέλησε καὶ ὡς ηὐδόκησεν· ἄσαρκος γὰρ ὤν, ἐσαρκώθη ἑκών· καὶ γέγονεν ὁ ὤν, ὃ οὐκ ἦν δι᾿ ἡμᾶς· καὶ μὴ ἐκστὰς τῆς φύσεως μετέσχε, τοῦ ἡμετέρου φυράματος. Δι-

www.tezaurliturgic.ro



πλοῦς ἐτέχθη, Χριστὸς τὸν ἄνω, κόσμον θέλων ἀναπληρῶσαι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν γεννηθέντα δι᾽ ἡμᾶς ἐν σπηλαίῳ, Ἡρώδης σφάττειν δολερῶς ἐκζητήσας, κατὰ Βρεφῶν ἠκόνισε, τὸ ξίφος ὁ δεινός. Ὅθεν ὡς οὐκ ᾤετο, μαρτυρόπλοκον στέφος, τῷ Χριστῷ ἀνέπλεξε, Βασιλεῖ ὡς μεγάλῳ· ᾧ δόξαν δῶμεν ἅπαντες πιστοί, αὐτοῦ ὑμνοῦντες τὴν ἄφατον κένωσιν.

Δόξα Πατρί. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σήμερον ἅπασα, κτίσις ἀγάλλεται, τοῖς Γενεθλίοις σου, Σῶτερ φιλάνθρωπε, ἐπιτελοῦσα ἱερῶς, Νηπίων τὴν θείαν μνήμην, καὶ αὐτῶν προσάγουσα, ὥσπερ δῶρον τὸ ἄθροισμα, αἶνον ἀναμέλπει σοι, γηθοσύνως κραυγάζουσα· Τῷ οὕτως εὐδοκήσαντι δόξα, Θεῷ ἡμῶν σεσαρκωμένῳ.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Θαῦμα παράδοξον, γέγονε σήμερον· ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκί, ὤφθη ἐκ Κόρης δι᾽ ἡμᾶς, καθὼς αὐτὸς ἐπίσταται. Μάγοι μετὰ δώρων δέ, ὡς Βασιλεῖ προσεκύνησαν. Ποιμένες μετ᾽ Ἀγγέλων τε, ἐδοξολόγουν αὐτόν· μεθ᾽ ὧν καὶ ἡμεῖς βοῶμεν αὐτῷ· δόξα τῷ δι᾽ ἡμᾶς ἐνανθρωπήσαντι.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ἀνάγνωθι τὸ ἐν τῇ Λειτουργίᾳ τῶν Χριστουγέννων.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τῶν Ἀθλοφόρων... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ὁ παλαιὸς τῶν ἡμερῶν, ὁ ἐξ ἁγίας Παρθένου δι᾽ ἡμᾶς, ὡς βρέφος ἐν Βηθλεὲμ νηπιάσας, τὴν τῶν Νηπίων σφαγήν, ὡς δῶρον προσεδέξατο τίμιον, καὶ δι᾽ αὐτῆς τῶν Μαρτύρων, ἠνέωξε τὸ οὐράνιον στάδιον. Χορευέτω ἡ Ἐκκλησία, ἐνδυσαμένη αὐτῶν τὴν εὐπρέπειαν, καὶ μετ᾽ Ἀγγέλων βόησον· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Ἑορτῆς καὶ οἱ Κανόνες τῶν Νηπίων. Κανὼν πρῶτος τῶν Νηπίων, οὗ ἡ Ἀκροστιχίς· «Νεο(γ)νὰ Χ(ρ)ιστ(ο)ῦ θ(ύ)μα(τ)α στ(έ)φω λ(ό)γοι(ς)». Ἐν δέ τοῖς Θεοτοκίοις· «Γεωργίου».

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Νεοποιεῖται ἡ κτίσις καὶ ἡ βροτῶν, φύσις ἀναπλάττεται, ἐν σαρκὶ τοῦ Ποιητοῦ, πάντων ὑπὲρ ἔννοιαν Χριστοῦ, τικτομένου ἐξ ἁγνῆς καὶ παναχράντου Μητρός.

Ἐκ στελεχῶν νεοφύτων ἡ τοῦ Χριστοῦ, Ἐκκλησία σήμερον, ὥσπερ ἄνθη εὐθαλῆ, δρεψαμένη αἵματα τερπνῶς, ἐφηδύνεται αὐτοῖς καὶ ὡραΐζεται.

Οἱ ποταμοὶ τῶν αἱμάτων τῶν εὐσεβῶν, Παίδων τὴν ἀπόνοιαν, καὶ μανίαν νοητῶς, τοῦ Ἡρώδου ἔκλυσαν· διό, ὑποβρύχιον αὐτοῦ ὤφθη τὸ θέσπισμα.

Θεοτοκίον.

Γῆ τῆς προτέρας κατάρας τῆς ἐν Ἐδέμ, λύτρωσιν ἐδέξατο, ἐν αὐτῇ τοῦ Λυτρωτοῦ, γεννηθέντος Ἄχραντε ἐκ σοῦ, καὶ καινίσαντος αὐτὴν καὶ ἁγιάσαντος.

Κανὼν δεύτερος τῶν Νηπίων, ἄνευ Ἀκροστιχίδος. Ποίημα ἁγίου Ἀνδρέου τοῦ Κρήτης.

Ἦχος δ΄. Ἄσωμεν ᾠδὴν ἐπινίκιον.

Ἡρώδην ἀνελεῖν σε βουλόμενον, ὡς Θεὸς τὸν διώκοντα, ἔφυγες Χριστὲ ὁ Θεός· ὁ δὲ πρὸς φόνον ἐκτραπείς, τῶν Νηπίων τὴν χλόην ἐθέρισεν.

Εὐφραίνου Βηθλεὲμ ἡ φοινίξασα, ἐνδόξως τῶν Νηπίων, τὰ αἵματα· Χριστὸς γὰρ αὐτοῖς, φῶς ὑπάρχει καὶ ζωή· δι᾽ αὐτὸν γὰρ θανάτου ἐγεύσαντο.

Κλαίει ἡ Ῥαχὴλ ἀπαράκλητα, τὰ τέκνα αὐτῆς, καθὼς γέγραπται κραυγάζουσα· οἴμοι, οἴμοι, οὐκ εἰσί, τῷ Χριστῷ γὰρ θυσία προσήχθησαν.

Θεοτοκίον.

Θεοτόκε ἡ Μήτηρ τοῦ ὄντως Θεοῦ, περιφρούρει καὶ φύλαττε, καὶ σῷζε πάντας ἐν περιστάσει, τοὺς ἐν ἀληθείᾳ καὶ φόβῳ, Μητέρα σε Θεοῦ καταγγέλοντας.

www.tezaurliturgic.ro



Κανὼν πρῶτος. Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος.

Νεφέλαι στάξατε ἐν γῇ, γλυκασμὸν εὐφροσύνης· ἐκ νεφέλης φωτὸς γάρ, ἀνέτειλεν ὁ Χριστός, ἐν σπηλαίῳ σαρκικῶς, ὑπὲρ πᾶσαν ἔννοιαν τικτόμενος.

Ἀπημφιάσατο τὴν πρίν, τῶν ἀνθρώπων ἡ φύσις, ἀκοσμίαν καὶ κόσμον, περιέθετο τερπνόν, τοῦ κοσμήτορος αὐτῆς, ἐκ Παρθένου σαρκὶ ἀνατείλαντος.

Χορὸς θεόλεκτος βρεφῶν, ἐν σαρκὶ γεννηθέντι, προσηνέχθη τῷ Κτίστῃ, ὡς θυσία μυστική, τυθεῖσα διὰ σφαγῆς, μαρτυρίου καὶ θείας ἀθλήσεως.

Θεοτοκίον.

Ἐκ τῶν ἀχράντων σου Ἁγνή, καὶ τιμίων αἱμάτων, σαρκωθεὶς ἀποῤῥήτως, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἀνέδειξεν ὡς Θεός, τῶν κτισμάτων σε ἁπάντων Δέσποινα.

Κανὼν δεύτερος. Μὴ καυχάσθω ὁ καυχώμενος.

Ὅπερ ἦς οὐκ ἀποθέμενος, καὶ προσελάβου Σωτὴρ ὡς ηὐδόκησας, ὅπερ οὐκ ἦς δι' ἄφατον, φιλανθρωπίαν σου· εἷς Υἱὸς ἀμέριστος, ἐχρημάτισας διπλοῦς ταῖς φύσεσιν.

Ἀκατάληπτος ἡ σύλληψις, καὶ ὑπὲρ λόγον ἡ ἔνσαρκος πρόοδος, ἡ ἐκ Παρθένου Κύριε, τῆς εὐσπλαγχνίας σου· ἀλλὰ φώτισον καὶ ἡμᾶς, τῇ λαμπρότητι σῆς ἐπιγνώσεως.

Ὁ Ἡρώδης πάλιν μαίνεται, τὴν τῶν Νηπίων θερίσαι ἄσταχυν, καὶ Ῥαχὴλ ὀδύρεται, καὶ ἡ Ῥαμὰ σὺν αὐτῇ, ἀναίρεσιν τὴν αὐτῶν, καὶ οὐκ ἤθελε παρακληθῆναι φησίν.

Θεοτοκίον.

Ὢ γαστὴρ οὐρανὸν φέρουσα, ὕψος καὶ πλάτος ἐν ᾗ ὁ Θεὸς ἡμῶν, ἀδαμιαῖος γέγονε, καὶ ἀναγαγὼν ἡμᾶς, ἐπὶ τὴν ἀρχαίαν ζωήν, καὶ τὸ πρόσλημμα θεώσας τὸ ἐξ ἡμῶν!

Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῷ τεχθέντι σήμερον, ἐκ τῆς Παρθένου, τῶν Νηπίων στράτευμα, ὡς Ποιητῇ καὶ Βασιλεῖ, δεκτὰ προσάγονται σφάγια, προτεθυμένα, Χριστῷ διὰ πίστεως.

Δόξα Πατρί. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστῷ νηπιάσαντι, ἐκ τῆς Παρθένου φρικτῶς, ὡς δῶρον προσήνεγκται, ὁ τῶν Νηπίων χορός, Ἡρώδου ὠμότητι. Δεῦτε οὖν εὐφρανθῶμεν, τῇ αὐτῶν ἀναιρέσει, ὅτι Ἀβραμιαίοις, κατοικίσαντες κόλποις, πρεσβεύουσιν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐνθέως εὐφραίνεται, ἡ κτίσις σήμερον· Χριστὸς γὰρ ὁ Κύριος, Πατρὸς ἀνάρχου Υἱός, ἐκ Κόρης γεννᾶται ἁγνῆς, ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀθανατίζων, λύων τε τὴν κατάραν, τῆς προμήτορος Εὔας. Διὸ εὐχαριστοῦντες αὐτῷ, ἐν ὕμνοις δοξάσωμεν.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ἰδοῦσαι Κύριε, τὴν ἐν σπηλαίῳ σου, συγκατάβασιν τάξεις ἀγγελικαί, φόβῳ ἐξεπλάγησαν, καὶ διανύμνησαν Χριστέ, τὸ ἀνείκαστόν σου ἔλεος.

Συνέσει Κύριε, ὁ τεκτηνάμενος, πᾶσαν κτίσιν βουλήσει σωματικῶς, σεαυτὸν ἠρίθμησας, ἐν τοῖς ποιήμασι τοῖς σοῖς, καὶ ἐν τούτοις ἀναπέπαυσαι.

Τὸ ξίφος ὤθησε, μανεὶς ὁ ἄνομος, καὶ παράφρων Ἡρώδης καθ' ἑαυτοῦ, ἀνελεῖν πειρώμενος, τὸν Εὐεργέτην τοῦ παντός, καὶ ἀνώλεθρον Θεότητι.

Θεοτοκίον.

Ὡραίαν κάλλει σε, ὑπεραστράπτουσαν, τοῦ Υἱοῦ σου ἀκτῖσιν οἱ τῶν ἐθνῶν, δωροφόροι Ἄχραντε, ἰδόντες θέαμα καινόν, καὶ παράδοξον ἀνύμνησαν.

Κανὼν δεύτερος. Εἰσακήκοα ὁ Θεός.

Δεῦτε συμφώνως πιστοί, τῶν γενεθλίων μετ' ἐγκωμίων, τὴν ἡμέραν ἑορτάσωμεν, ἐν ψαλμοῖς γεραίροντες, τὸν ἐν σπηλαίῳ βρέφος τικτόμενον.

Μιαιφονίαν ἡ Βηθλεέμ, τὴν τοῦ Ἡρώδου ἀναβοῶσα, διελέγχει τὴν παράνομον· ἀλλ' αὐτὸς ὡς θύματα, τὰ τῶν Βρεφῶν συστήματα δέχου Χριστέ.

Ἱερεμίας ὁ μέγας φησί, Προφήταις πάλαι προανεφώνει· Ἐν Ῥαμᾷ σφαγὴ γενήσεται, διὰ τὸν τικτόμενον, ἐν Βηθλεὲμ Χριστὸν τὸν Θεὸν ἡμῶν.

Θεοτοκίον.

Χαῖρε πύλη τῶν οὐρανῶν, δι' ἧς διῆλθεν ἀῤῥήτῳ λόγῳ, Βασιλεὺς ὁ ἐπουράνιος, καὶ τη-

www.tezaurliturgic.ro



ρήσας ἄμωμον, ἐσφραγισμένην πάλιν κατέλιπεν.

Κανὼν πρῶτος. ᾨδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Ὑπερεκκέχυται ὁ κρατήρ, ὁ τῆς εὐσπλαγχνίας σου Χριστέ, εἰς τὰ ποιήματα ἅπαντα, καὶ ἀφθόνου ταῦτα ἐλέους ἔπλησε, σαρκὶ ἐπιφανέντος, καὶ γεννηθέντος σου.

Θύματα ἄμωμα τῷ Χριστῷ, σήμερον προσήχθησαν ὁμοῦ, καὶ μυστικῶς ἀνηνέχθησαν, ὡς πυρὶ τῷ ξίφει ὁλοκαυτούμενα, τὰ Βρέφη καὶ τῶν θείων, βραβείων ἔτυχον.

Θεοτοκίον.

Ῥεῖθρα ἐπήγασε νοητά, τῆς ἀθανασίας ὁ ἐκ σοῦ, σαρκὶ τεχθεὶς ἐν σπηλαίῳ Ἁγνή, καὶ τὴν τῶν ἀνθρώπων φύσιν κατήρδευσεν, ἀφθαρσίᾳ πλουτίσας αὐτήν, ὡς εὔσπλαγχνος.

Κανὼν δεύτερος. Ἀνάτειλόν μοι Κύριε.

Δεσποτικὴν πανήγυριν, οἱ φιλέορτοι σήμερον, ἀνακηρύττομεν τοῦ Σωτῆρος, τὰ σπάργανα ὁρῶντες, καὶ ποιμένας κήρυκας, καὶ τῶν Μάγων σύστημα, δῶρα προσφέροντας Χριστῷ.

Χορεύει πᾶσα σήμερον, ἡ φύσις ἡ τοῦ θήλεος, ὅτι τὸν γόνον ἀποδίδει, τῷ Κτίστῃ καὶ Δεσπότῃ, Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ καυχᾶται λέγουσα· νῦν οὐκ ἄτεκνος ἐγώ.

Ἡρώδης ὁ δυσώνυμος, τὸν Φαραὼ μιμούμενος, ὁ μὴ καμφθεὶς μητρῴοις σπλάγχνοις, τὰ βρέφη κατασφάττει, διὰ τὸν τικτόμενον, ἐν σπηλαίῳ καὶ φάτνῃ, Χριστὸν τὸν μόνον Λυτρωτήν.

Θεοτοκίον.

Ὡς πύλην ἀδιόδευτον, καὶ βάτον ἀκατάφλεκτον, καὶ ἀλατόμητόν σε ὄρος, ἐξ οὗ λίθος ἐτμήθη, ὁ ἐκ σοῦ σαρκούμενος, ἀνυμνοῦμεν Δέσποινα, Μήτηρ τοῦ πάντων Ποιητοῦ.

Κανὼν πρῶτος. ᾨδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.

Μύρα εὐωδέστατα, ἀναδέδωκεν ἡ γῆ, ἐν ταύτῃ ὑπὲρ ἔννοιαν, τοῦ ἀκενώτου μύρου ἐκ τῆς Ἁγνῆς, σαρκὶ ἀναβλύσαντος, καὶ βροτοὺς εὐωδίας θείας πλήσαντος.

Αἵμασιν ἐφοίνιξεν, ὁ Ἡρώδης τῶν Βρεφῶν, τὴν Βηθλεὲμ ὁ δείλαιος· ἀλλὰ ταῦτα βοήσαντα πρὸς Θεόν, ἔνδικον εἰργάσαντο, τὴν αὐτοῦ καταδίκην καὶ τὸν ὄλεθρον.

Θεοτοκίον.

Γεννᾶται ὁ ἄχρονος, Θεὸς Λόγος ἐν γαστρί, ἐκ σοῦ ἐν χρόνῳ Ἄχραντε, ἵνα ζωὴν τὴν ἄχρονον τοῖς ἐν γῇ, καὶ λῆξιν αἰώνιον, χορηγήσῃ καὶ δόξαν τὴν ἀκήρατον.

Κανὼν δεύτερος. Ζάλη με λογισμῶν.

Σήμερον χορευέτω πᾶσα ἡ κτίσις, ὅτι τὰ γενέθλια, τηροῦνται νῦν τοῦ Σωτῆρος, καὶ ἡ μνήμη ἐφέστηκε φαιδρῶς, τῶν Νηπίων καὶ δεῦτε, πανηγυρίσωμεν ἅπαντες.

Φησὶ γάρ· Ἐν Ῥαμᾷ θρῆνος ἠκούσθη· Ῥαχὴλ γὰρ κλαίουσα, τὰ Νήπια οὐ μετρίως· Ἱερεμίας γὰρ νῦν προφητεύει, διὰ τὸν ἐκ Μαρίας, ἐν Βηθλεὲμ γεννηθέντα Χριστόν.

Φοινίσσεται ἡ γῆ ἅπασα τὸ αἷμα, τῶν Νηπίων σήμερον, καὶ Βηθλεὲμ ἐγκαυχᾶται, ὡς τὰ τέκνα πληθύνασα αὐτῆς, καὶ δέχεται ὡς δῶρα, μιαιφονίαν τὴν ἄδικον.

Θεοτοκίον.

Ἔλυσας τὴν ἀρὰν τῆς προγόνου· τὴν χαρὰν γὰρ ἔτεκες, ἡ ἐν μητράσι Παρθένος, τὸν ἀναλλοίωτον Λόγον ἐν σαρκί· αὐτὸν Θεογεννῆτορ, ὑπὲρ τοῦ κόσμου ἱκέτευε.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἀστὴρ Μάγους ἔπεμψε, πρὸς τὸν τεχθέντα· καὶ Ἡρώδης ἄδικον, στρατὸν ἀπέστειλε κακῶς, φονοκτονῆσαι οἰόμενος, τὸν ἐν τῇ φάτνῃ ὡς Νήπιον κείμενον.

Ὁ Οἶκος.

Τῶν ἄνω καὶ τῶν κάτω, νῦν ὁμοῦ εὐφραινομένων, ἐν τῇ ἐπιφανείᾳ τοῦ πάντων Βασιλέως, Ἡρώδης μόνος συναλγεῖ, σὺν τοῖς προφητοκτόνοις Ἰουδαίοις· εἰκὸς γὰρ μόνους αὐτοὺς ὀδύρεσθαι· οὐ γὰρ ἀπὸ τοῦ νῦν βασιλεύσουσιν· ἀλλ᾽ ἡ βασιλεία τοῦ Κυρίου, καὶ ἔτι κρατήσει, τὰ θράση τῶν ἐχθρῶν ἀποκρουομένη, καὶ τὰ πλήθη τῶν πιστῶν συγκαλουμένη, μετὰ τῶν σεπτῶν Νηπίων τοῦ κατοπτεύειν, τὸν ἐν τῇ φάτνῃ, ὡς Νήπιον κείμενον.

Μηνολόγιον.

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν ἁγίων Νηπίων, τῶν ὑπὸ Ἡρώδου ἀναιρεθέντων, χιλιάδων δεκατεσσάρων.

www.tezaurliturgic.ro



Στίχοι.

Διὰ ξίφους ἄωρα μητέρων βρέφη,
Ἀνεῖλεν ἐχθρὸς τοῦ βρεφοπλάστου Βρέφους.
Νήπια ἀμφ᾽ ἐνάτην τάμον εἰκάδι παππάζοντα.

Συναξάριον.

Προστάξας ὁ βασιλεὺς τῶν Ἰουδαίων Ἡρώδης τοῖς Μάγοις ὑποστρέψαι καὶ διαγγεῖλαι αὐτῷ τὰ περὶ τοῦ γεννηθέντος Βασιλέως, ὃν ὁ ἀστήρ, ᾧ ἠκολούθουν, ἐμήνυεν, ὅπως σὺν ἐκείνοις προσκυνήσῃ αὐτόν· καὶ τοῦ Ἀγγέλου εἰπόντος αὐτοῖς, μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, ἀλλὰ δι᾽ ἄλλης ὁδοῦ ἀναχωρῆσαι εἰς τὴν χώραν αὐτῶν· καὶ τοῦτο ποιησάντων, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπ᾽ αὐτῶν, ἐθυμώθη λίαν· καὶ ἐψηφίσατο ἀκριβῶς τὸν χρόνον τοῦ φαινομένου ἀστέρος καὶ ἀποστείλας στρατιώτας, ἐφόνευσε πάντας τοὺς ἐν Βηθλεὲμ παῖδας καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω· τοῦτο θέμενος ἐν τῇ διανοίᾳ αὐτοῦ, ὡς εἰ πάντας τοὺς παῖδας φονεύσειε, πάντως ἀποθανεῖται καὶ ὁ μέλλων βασιλεῦσαι, καὶ οὐκ ἐπιβουλεύσει αὐτῷ· ἀλλ᾽ εἰς μάτην ἐκοπίασεν ὁ παράφρων, μὴ εἰδώς, ὅτι Θεοῦ βουλὴν ἄνθρωπος ἐμποδίσαι οὐ δύναται. Ὅθεν ἐκείνοις μὲν προεξένησε Βασιλείαν οὐρανῶν, ἑαυτῷ δὲ κόλασιν αἰώνιον.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀπεμείωσε τὴν νύκτα ὁ τεχθεὶς σαρκί, Ἥλιος ἐκ Παρθένου Μητρός, καὶ ἐπηύξησε τὴν διττήν, ἡμέραν τοῖς πιστοῖς, βοῶσιν αὐτῷ εἰλικρινῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Σαλευθεῖσαν ἀθεότητι τὴν ἅπασαν, κτίσιν ὁ ἐν σπηλαίῳ τεχθείς, ἐπεστήριξεν ἐπιγνώσει, πάλιν τῇ αὐτοῦ, ἀπαύστως κραυγάζουσαν αὐτῷ· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τὰ ἀνεύθυνα μὲν βρέφη ἀπεθέρισεν, Ἡρώδης μιαιφόνῳ χειρί, τῶν ἐλπίδων δὲ τῶν ματαίων, ὅλος ἐκπεσών, τὴν ἔνδικον δίκην ἑαυτῷ, θεοκτονίαν μελετῶν ἐναπεγράψατο.

Θεοτοκίον.

Ἴδεν ἅπασα ἡ κτίσις Θεονύμφευτε, τὰ θεῖα μεγαλεῖά σου, ἐν σαρκὶ ἐκ σοῦ, τοῦ Δεσπότου πάντων καὶ Θεοῦ, τεχθέντος ἐν πόλει Βηθλεέμ, καὶ σὺν τοῖς Μάγοις καὶ Ποιμέσι σὲ ἀνύμνησε.

Κανὼν δεύτερος. Εὐλογητὸς εἶ ὁ Θεός.

Ἐπέστη σήμερον ἡμῖν, τῶν Γενεθλίων ἡμέρα, καὶ ὕμνον πάντες κροτήσωμεν πιστοί· ἤδη εἰσηκούσθη, ἡ δέησις ἡμῶν.

Ἱερεμίας ὁ σοφός, τὴν τῶν ἀώρων Νηπίων, προφητεύσας γὰρ εἶπε τὴν μέλλουσαν σφαγήν, διὰ τὸν τεχθέντα, ἐν κώμῃ Βηθλεέμ.

Ὁ παλαιὸς τῶν ἡμερῶν, ὁ νηπιάσας ὡς βρέφος, τῶν Νηπίων προσδέχεται σφαγήν, καὶ τὴν τῶν Μαρτύρων, ηὐτρέπισεν ὁδόν.

Θεοτοκίον.

Χαῖρε ναὲ θεϊκέ· χαῖρε κατάσκιον ὄρος· χαῖρε λυχνία χρυσῆ· χαῖρε τράπεζα, καὶ θεῖε κιβωτέ· χαῖρε Παναγία θεογεννῆτορ.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Φωτοφόρον ἡ κτίσις στολὴν ἐνδέδυται, καὶ κατήφειαν πᾶσαν ὅλως ἀπέθετο, τοῦ καινοποιοῦ, καὶ Δεσπότου τεχθέντος ἐν γῇ· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς χρυσίον καὶ σμύρναν Χριστὲ καὶ λίβανον, τὰς ἡμῶν ἱκεσίας δέξαι φιλάνθρωπε, καὶ ὡς τῶν Βρεφῶν, τῶν ἁγίων τὰ αἵματα, πρόσδεξαι Οἰκτίρμον, διδοὺς ἡμῖν ἐλέη.

Λελυμένα τοῦ βίου καὶ τῆς παρούσης ζωῆς, δι᾽ ἐνθέου θανάτου βρέφη ἀνεύθυνα, πρὸς τὸν ἀθλοθέτην, Θεὸν ἐχωρήσατε, τὸν τὴν αἰώνιον ζωήν, ὑμῖν διδόντα.

Θεοτοκίον.

Ὁ ἐκ σοῦ ἐν σπηλαίῳ τεχθεὶς Πανάχραντε, αἰωνίους ἀνθρώποις σκηνὰς ηὐτρέπισε, τοῖς εἰλικρινῶς Θεοτόκον ὑμνοῦσί σε, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Ἐν πυρὶ φλογός.

Τῶν Ἀγγέλων τὰ στρατεύματα, Χερουβὶμ Σεραφίμ, Κύριε μετὰ ποιμένων, ὕμνον ᾄδουσι τερπνόν, ὑμνοῦντες καὶ βοῶντες, σὲ τὸν γεννηθέντα, σπηλαίῳ ὑπογαίῳ σαρκί, εἰς πάντας τοὺς αἰῶνας.

Φωνὴ ὡς ἠκούσθη ἐν Ῥαμᾷ, καὶ κλαυθμὸς τῶν Βρεφῶν, σήμερον οἱ τῶν Ἀγγέλων, ἐξεπλάγησαν χοροί, ὑμνοῦντες καὶ βοῶντες, Χριστὸν τὸν ἐκ Μαρίας, τεχθέντα ἐν σπηλαίῳ, εἰς σωτηρίαν κόσμου.

Ἡ γῆ ἐπορφύρετο τοῖς αἵμασι, καὶ ὡς ῥόδα ἀγροῦ, ἔπιπτον ἐκ τῶν ἀγκαλῶν, τῶν μητρῴων τὰ βρέφη, πατέρων καὶ μητέρων, ὀλολυγμὸς βιαίως, εἰς τοῦτο μόνον ἀφορῶντες, τὸ ἐκ Μαρίας βρέφος.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Τίς ἀκούων οὐκ ἐξίσταται, ὅτι μήτραν Θεός, ᾤκησε καὶ βρέφος ὤφθη, ἄνευ πάθους καὶ φθορᾶς; Ὢ πλούτου εὐσπλαγχνίας! ὢ βάθους μυστηρίου! ὁ πάντα περιέπων, σαρκὶ ἐφανερώθη.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.

Γνωστὸν ἐδείχθη Χριστὲ τὸ ἔλεος, τὸ ὑπὲρ νοῦν τῆς σῆς φιλανθρωπίας τοῖς Ἔθνεσιν· ἐν σαρκὶ γὰρ Δέσποτα ἐπτώχευσας, ἵνα πλούτου μετόχους κρείττονος Κύριε, ποιήσῃς ἡμᾶς, ὡς ἀγαθὸς καὶ πολυέλεος.

Ὁ σὸς Παρθένε τόκος ὁ ἄῤῥητος, ξένην βροτοῖς καὶ θείαν παρασχὼν ἀναγέννησιν, καὶ τὴν κτίσιν πᾶσαν ἐκαινούργησε, καὶ τοὺς ἐν γῇ Ἀγγέλοις ἥνωσεν ᾄδοντας, καὶ δοξολογοῦντάς σε, ἀεὶ καὶ μεγαλύνοντας.

Ἰσχὺς Ἡρώδου τοῦ πολεμήτορος, τῇ τῶν βρεφῶν μανέντος ἀναιρέσει ἠσθένησε· τὴν ἀήττητον γὰρ ταῦτα δύναμιν, ἐκ Θεοῦ ἐζωσμένα χάριτι πίστεως, πρὸς τὸν ἀθλοθέτην, καὶ Θεὸν φαιδρῶς ἀνέδραμεν.

Θεοτοκίον.

Υἱοὺς Θεοῦ ἡμᾶς ἀπειργάσατο, ὁ γεννηθεὶς σαρκὶ Θεὸς ἐκ σοῦ Παναμώμητε· καὶ τὸ πρῶτον δέδωκεν ἀξίωμα, τοῖς αὐτὸν δεξαμένοις, καὶ Θεομήτορα, σὲ δοξολογοῦσιν, ἐκτενῶς καὶ μεγαλύνουσιν.

Κανὼν δεύτερος. Τὴν ὑπερένδροσον πάλαι.

Προφητεύων μήπω μαθόντες Παῖδες, τὴν σκιώδη μανίαν ἐφαύλισαν, καὶ τὸν φθόνον ἔῤῥηξαν, τούτου τὸν παράφρονα.

Τὸν νηπιάσαντα Λόγον ἐκ Παρθένου, καὶ τὰ Νήπια δόντα ἀγήρῳ ζωῇ, καὶ ἀβραμιαίοις κόλποις, οἰκίσας μεγαλύνομεν.

Τὸν Ἡρώδην μανίαν ἐκτακέντα, τῶν Νηπίων τὴν χλόην ἐθέρισε, καὶ τοῦ ζῆν ἀποσπάσας, τούτους εἰσοικίζει Χριστῷ.

Θεοτοκίον.

Τὴν πορφύραν σου Λόγε αἵμασι, τῆς Παρθένου ὑφανθεῖσαν καὶ βαφεῖσαν, δίχα φθορᾶς δι' ἡμᾶς καθ' ἡμᾶς, φορέσας ἐνηνθρώπησας.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Κλαυθμὸς πολὺς ἐγένετο, ὀδυρμός τε καὶ θρῆνος, ἐν τῇ Ῥαμᾷ ὡς ἔφησεν, ὁ θεόπνους Προφήτης· ἐξ ἀγκαλῶν γὰρ μητρῴων, ἀποσπάσας Ἡρώδης, τὰ Νήπια ἀνείλετο, ἐκζητῶν ἀποκρύψαι, τὸν ἐξ Ἁγνῆς, Ἥλιον τεχθέντα ἐν γῇ Ἰούδα· ὃν πάντες προσκυνήσωμεν, ὡς Σωτῆρα τοῦ κόσμου.

Ἕτερον. Τῶν Μαθητῶν ὁρώντων σε.

Ἡ Βηθλεὲμ μὴ στύγναζε ἀλλ' εὐθύμει, τῶν ἱερῶν Νηπίων τῇ ἀναιρέσει· θύματα γὰρ τέλεια τῷ Δεσπότῃ, Χριστῷ προσανηνέχθησαν· ὑπὲρ αὐτοῦ γὰρ σφαγέντα, συμβασιλεύουσι τούτῳ.

Θεοτοκίον.

Ἐπὶ τῆς γῆς εἰρήνη καὶ ἐν ἀνθρώποις, Θεοκυῆτορ γέγονεν εὐδοκία. Ἄγγελοι χορεύοντες ἐκραύγαζον· ἐν τοῖς Ὑψίστοις δόξα σοι, τῷ γεννηθέντι ἀφράστως, ἐν Βηθλεὲμ ἐκ Παρθένου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Χριστῷ ἐκ Παρθένου δι' ἡμᾶς, σαρκὶ νηπιάσαντι, τὰ ἀπειρόκακα Νήπια, δεκτὰ ὡς θύματα, ὡς τερπναὶ θυσίαι, ὡς ἄρνες νεόθυτοι, προσήχθησαν Ἡρώδου ἐλέγχοντα, τὴν ἰταμότητα, καὶ ἀπαύστως ἱκετεύοντα, ἵνα χάριν, καὶ ἔλεος εὕρωμεν.

Εὐφραίνεσθε νῦν πνευματικῶς, πιστοὶ ἑορτάζοντες· Βρεφῶν χορὸς γὰρ συνήθροισται, θεοσυγκρότητος, ὑπὲρ τοῦ τεχθέντος, Χριστοῦ ἐνδεξάμενος, δι' αἵματος σεπτῶς τὴν τελείωσιν· ὃν μακαρίζοντες, τὸν δι' οἶκτον νηπιάσαντα, ὡς Δεσπότην, ἡμῶν προσκυνήσωμεν.

Ἐγένετο ἄλλος Φαραώ, Ἡρώδης ὁ ἄνομος, τοῦ παλαιοῦ δολιώτερος, διὰ τὸν Κύριον, ἐν σαρκὶ τεχθέντα, ἀποκτείνας Νήπια, τοῦ νέου Ἰσραήλ, ἃ εἰργάσατο, λαθὼν τὴν ἔκβασιν, τῶν Μαρτύρων ἀρχιμάρτυρας, ὑπὲρ πάντων, ἡμῶν ἱκετεύοντας.

Βρεφῶν ἡ Ῥαχὴλ τὴν ἐκκοπήν, ἐθρήνησε πρόπαλαι· ἡ Ἐκκλησία δὲ σήμερον, φαιδρῶς ἀγάλλεται, ὡς πορφύραν θείαν, καὶ βύσσον πολύτιμον, αὐτῶν στολιζομένη τὰ αἵματα, καὶ ἑορτάζου-

www.tezaurliturgic.ro



σα, μεγαλύνει τὸν φιλάνθρωπον, τὸν ἐκ Κόρης, ἁγνῆς νηπιάσαντα.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Ἀγαλλιάσθω σήμερον Βηθλεέμ, ὅτι πόλις ὤφθης τοῦ μεγάλου Βασιλέως, καὶ μὴ στύγναζε τῇ τῶν νηπίων ἀναιρέσει· Ῥαχὴλ γὰρ ὡς Ἀβραὰμ εἰς θυσίαν, αὐτὰ τῷ δι' ἡμᾶς νηπιάσαντι προσέφερε, ἐλέγχουσα τὴν τοῦ Ἡρώδου κακίαν. Εὐφράνθητι εὐφροσύνην αἰώνιον, ὅτι νοητὸς παράδεισος ἀνεδείχθης, ἐξανθήσασα Παῖδας ἁγίους, ἡλικιώτας τῇ Γεννήσει Χριστοῦ. Στάλαξον τοῖς ὄρεσί σου γλυκασμόν, ὡς ἀρνία προβάτων πρώτη προσάξασα, τῷ Ποιμένι τοὺς Παιδομάρτυρας αὐτοῦ, τοὺς πρεσβεύοντας ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τό τῆς Ἑορτῆς. Ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν οὐρανῷ, καὶ ἀγάλλονται σήμερον· σκιρτᾷ δὲ πᾶσα ἡ κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον· ὅτι πᾶσα πλάνη τῶν Εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ μὲν τοῦ Κανόνος τῆς Ἑορτῆς ἡ γ΄ Ὠδή, ἐκ δὲ τοῦ Κανόνος τῶν ἁγίων Νηπίων ἡ στ΄. Ἀπόστολον, ζήτει ἐν τῇ ΣΤ΄ Ὥρᾳ τῆς Μ. Παρασκευῆς καὶ Εὐαγγέλιον ἐν τῇ Θ΄ Ὥρᾳ τῶν Χριστουγέννων.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις θεηγόρος παρεμβολή, τῶν ἀκάκων Παίδων, τῶν τυθέντων ἐν Βηθλεέμ, Ἡρῴδου μανίᾳ, τοῦ μισητοῦ τυράννου, διὰ τὸν ἐκ Παρθένου, ἐνανθρωπήσαντα.

*Δίστιχον.*

*Κύριλλος χορὸν ἀπειροκάκων Παίδων*
*Ὕμνησε πιστῶς ὡς πρώτους τῶν Μαρτύρων.*

